**0345-0407 - Iohannes Chrysostomus - In illud Collegerunt Judaei**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 233 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In illud: Xollegerunt Judaeià

[00002] Εἰς τὸ, Συνήγαγον οἱ Ἰουδαῖοι συνέδριον, καὶ ἔλεγον·

[00003] Τί ποιήσωμεν;Τῇ

[00004] ἁγίᾳ καὶ μεγάλῃ β′.

59.525

[00005] Ἐοίκασιν οἱ τῆς Ἐκκλησίας φίλτατοι παῖδες νηπίοις θηλάζουσι, τοῖς τοῦ γάλακτος τροφὴν καθ' ἑκάστην ἡμέραν ἐκ τῆς μητρικῆς θηλῆς ὑφέλκουσι, καὶ καθ' ἑκάστην ζητοῦσιν.

[00006] Ἐοίκαμεν καὶ ἡμεῖς μητρὶ πενιχρᾷ ὑπὸ ἀσιτίας συσταλθείσῃ τὰς τοῦ γάλακτος πηγάς.

[00007] Καὶ ὥσπερ, ὁπόταν τις ἴδῃ μητέρα φιλότεκνον ἄφορον γάλακτος, καὶ ὑπὸ ἰδίου τέκνου κατακλαυθμυριζομένην, καὶ προστιθεῖσαν τὴν θηλὴν, οὐχ ἵνα θρέψῃ τὸ παιδίον, ἀλλ' ἵνα τοῦ κλαυθμυρισμοῦ καταπαύσῃ·

[00008] οὕτω καὶ ἡμᾶς δεῖ σκοπεῖν τε πάσχοντας τὰ αὐτὰ, καὶ ποιοῦντας τὰ ὅμοια.

[00009] Καὶ γὰρ ἡμεῖς ὁρῶντες τὸ νέον τοῦτο σύστημα τῶν τῆς Ἐκκλησίας παίδων περιεστώτων κυκλόθεν, καὶ ἀπεκδεχομένων τὸ λογικὸν γάλα τοῦ λόγου, τὴν θηλὴν τῆς διανοίας ἡμῶν χαλῶμεν·

[00010] οὐχ ἵνα θρέψωμεν αὐτούς (ἄπειροι γὰρ καὶ πένητες τῷ λόγῳ τυγχάνομεν), ἀλλ' ἵνα τὸν πόθον καὶ τὸν καύσωνα παύσωμεν.

[00011] Ἀλλὰ δεῦτε, ἀγαπητοὶ, ἐπὶ τὸν τοῦ ἡλίου κήρυκα καταδράμωμεν, ἵνα ἴδωμεν τὴν κατὰ τοῦ Κυρίου παρὰ τῶν Ἰουδαίων πραττομένην ἐπίβουλον ἐνέδραν.

[00012] Συνήγαγον γὰρ, φησὶν, οἱ Ἰουδαῖοι συνέδριον, καὶ ἔλεγον·

[00013] Τί ποιήσωμεν;

[00014] Ταῦτα δὲ ἡμῖν ὁ εὐαγγελιστὴς Ἰωάννης ἀρτίως ἐφθέγγετο.

[00015] Εἰ γὰρ καὶ τῷ στόματι ἡμῖν νῦν οὐ διαλέγεται, ἀλλ' οὖν γε τῷ πνεύματι ταῖς τῶν ἑστώτων ἀκοαῖς ἐβόα.

[00016] Συνήγαγον γὰρ, φησὶ, τὸ συνέδριον, καὶ ἔλεγον·

[00017] Τί ποιήσωμεν;

[00018] Καλὸν τὸ, Συνήγαγον·

[00019] ἀλλὰ κακὸν τὸ, Συνέδριον·

[00020] οὐ πρὸς ἀγάπην, ἀλλὰ πρὸς μάχην·

[00021] οὐ πρὸς εἰρήνην καλοῦντες, ἀλλὰ πρὸς πόλεμον παροξύναντες.

[00022] Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα Θεὸν δοξάσωσιν, ἀλλ' ἵνα Χριστὸν ἀτιμάσωσι.

[00023] Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα πίστιν οἰκοδομήσωσιν, ἀλλ' ἵνα τὸν ἀκρογωνιαῖον λίθον ἀποῤῥίψωσι.

[00024] Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα τὰ πεπλανημένα πρόβατα μανδρεύσωσιν, ἀλλ' ἵνα τὸν ποιμένα φονεύσαντες, τὸ ποίμνιον διαλύσωσι.

[00025] Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα τὸν χιονόφεγγον μαργαρίτην πίστει ὑποδέξωνται, ἀλλ' ἵνα τὸν φεγγίτην λίθον, ὡς ἐνόμιζον, τῇ ἀπιστίᾳ σκοτίσωσι.

[00026] Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα τὸν ἐν τῷ ἀγρῷ κεκρυμμένον θη [59.526] σαυρὸν εὐγνωμόνως ὑποδέξωνται, ἀλλ' ἵνα τὸν ναὸν τοῦ Θεοῦ ἀγνωμόνως διαλύσωσι.

[00027] Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα τῆς ἀμπέλου τοὺς μελισταγεῖς βότρυας τρυγήσωσιν, ἀλλ' ἵνα τὴν ἀληθινὴν ἄμπελον ἐπὶ τὸ δένδρον τοῦ σταυροῦ ἐφαπλώσαντες, ἑαυτοὺς ἀναδενδράδας ἀπωλείας ποιήσωσιν, ἡμᾶς δὲ ἀναδενδράδας σωτηρίας ποιήσωσιν.

[00028] Ὢ συνέδριον ὑπὸ διαβόλου κατὰ Χριστοῦ συνηγμένον·

[00029] ὢ βουλευτήριον κακίας μεμεστωμένον·

[00030] ὢ συνέδριον, μᾶλλον λύκων αἱμοβόρων, ἢ ἀνθρώπων θεοφόρων.

[00031] Τί δὲ λέγω, λύκων ἀνημέρων;

[00032] Ἀλλὰ γὰρ καὶ λεόντων ἀνημέρων χείρους.

[00033] Οἱ γὰρ λέοντες ἐπὶ τοῦ Δανιὴλ μηδὲν θεωρήσαντες σημεῖον, ἀλλὰ τὸν ἄνδρα σκοπήσαντες, καὶ τὴν εὐλάβειαν τιμήσαντες, τὰ ἀτίθασσα αὐτῶν στόματα ἐχαλίνωσαν.

[00034] Ἰουδαῖοι δὲ τοιούτων καὶ τοσούτων σημείων θεαταὶ γενόμενοι, μειζόνως ἐκ τοῦ φθόνου πρὸς τὸν φόνον ὡπλίζοντο, καὶ ἔλεγον·

[00035] Τί ποιήσωμεν;

[00036] Ὢ κακίας ἔρευνα ἐπιμελής·

[00037] ὢ στεναγμὸς καὶ θρῆνος ὑπὸ φθόνου γενόμενος·

[00038] ὢ ὀδυρμὸς καὶ κοπετὸς ἐπὶ κακοῖς γενόμενος.

[00039] Οὔτε ἡ Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς οὕτως ἀνεστέναξε.

[00040] Τί ποιήσωμεν;

[00041] Ἀνθ' ὧν ἔδει χαίρειν τοὺς τάλανας, ἀνθ' ὧν ἔδει εὐφροσύνης ἡμέραν πάνδημον ἐπιτελεῖν, ὅτι νεκροὶ ἀνεβίωσαν, ὅτι ζωὴ πεφανέρωται, ὅτι θάνατος λέλυται, ὅτι ὁ διάβολος κατησχύνθη, ὅτι δαιμόνων

[00042] Επιτρέπετα

[00043] στῖφος κατήργηται, ὅτι ἡ ἀνθρωπότης ἠλευθέρωται, ὅτι νεκρῶν ἀνάστασις πᾶσι κεκήρυκται·

[00044] νῦν δὲ ἐπὶ τοιούτοις ἀγαθοῖς οὐ χαίρουσιν, ἀλλὰ θρηνοῦσι, καὶ τὸν τοσούτων ἀγαθῶν αἴτιον ἀναλίσκειν βουλεύονται.

[00045] Καὶ τί λέγουσι;

[00046] Τί ποιήσωμεν;

[00047] Οὐδὲν ἕτερον ἦν εἰπεῖν, ἢ ὅτι μετανοήσαντες ἐπιστρέψωμεν, καὶ αὐτῷ προσπεσόντες πιστεύσωμεν.

[00048] Τί γὰρ ἄλλο μετανοοῦντες εἶχον λέγειν, ἢ τοῦτο;

[00049] Τί ποιήσωμεν, ὅτι τὴν ἐντολὴν τοῦ Θεοῦ παρέβημεν, ὅτι τὸν νόμον τὸν δοθέντα ἡμῖν οὐκ ἐφυλάξαμεν, τὸν λέγοντα ἡμῖν, ὅτι Προφήτην ἡμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ·

[00050] αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα ἂν ἐντελεῖται ὑμῖν.

[00051] Νῦν δὲ οὐ πρὸς μετάνοιαν λέγουσι, Τί ποιήσωμεν;

[00052] ἀλλὰ, Τί ποιήσωμεν;

[00053] πῶς ἀποκτείνωμεν τὸν δίκαιον;

[00054] Ὡς ὁ Ἰσραὴλ φρενολυ [59.527] πεῖται.

[00055] Οὐδὲ τοῦτο οὐκ ἤκουσας, ὅτι Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς;

[00056] Οὐκ ἤρκεσέ σοι τὰ ἀρχαῖα τῶν προφητῶν αἵματα;

[00057] Καὶ γὰρ μέχρι τοῦ νῦν κράζουσι πρὸς τὸν Θεὸν, τὴν παρ' αὐτοῦ ἐκδίκησιν ἐκδεχόμενα.

[00058] Ἀλλ' ἀκμὴν ἐκείνοις τοῖς αἵμασι προστιθεὶς, ἀθῷον καὶ δίκαιον αἷμα κατακρίνεις, καὶ λέγεις, Τί ποιήσωμεν;

[00059] Ὢ γνώμης ἀγνώμονος, καὶ βουλῆς ἀβουλίας μεμεστωμένης.

[00060] Ὁ τετραήμερος αὐτῶν ἀνεβίωσε·

[00061] τὰ δεσμὰ τῶν ἁμαρτημάτων διεῤῥήγνυντο·

[00062] κἀκεῖνοι πρὸς δολοφονίαν κατ' αὐτοῦ ὡπλίζοντο.

[00063] Ἀνθ' ὧν ἔδει τὸ ῥῆμα μεταστρέψαντας εἰπεῖν, Τί ποιήσωμεν, ὅτι ἅγιον ἐνυβρίσαμεν, ὅτι εἰς τὸν τοῦ Θεοῦ παῖδα οὐκ ἐπιστεύσαμεν;

[00064] Τί ποιήσωμεν;

[00065] λεπρῶν χαλαζώματα δίκην πλοίου τῷ λόγῳ ἀπέξεσε, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν.

[00066] Τί ποιήσωμεν;

[00067] τυφλοὺς ἐκ γενετῆς ὑπ' αὐτοῦ ὀμματωθέντας ἔγνωμεν, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν.

[00068] Τί ποιήσωμεν;

[00069] ἐκ πέντε ἄρτων πέντε χιλιάδας εἰς κόρον ἐν ἐρήμῳ ὑπ' αὐτοῦ διατραφέντας ἔγνωμεν, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν.

[00070] Τί ποιήσωμεν;

[00071] πηγὰς αἱμάτων κρασπέδοις ἱματίων ἐξήρανε, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν.

[00072] Τί ποιήσωμεν;

[00073] παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον, ἐν τριάκοντα καὶ ὀκτὼ ἔτεσι σύγχρονον τῆς ἑαυτοῦ ζωῆς τὴν νόσον ἔχοντα, ῥήματι ἐξήγειρε, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν.

[00074] Τί ποιήσωμεν;

[00075] ἐπὶ θαλάττης αὐτὸν περιπατοῦντα, καθάπερ ἐπὶ ἐδάφους, ἐθεασάμεθα, καὶ τῶν παλιστρόφων πνευμάτων βίας καὶ ταραχὰς ἀνηκέστους νεύματι χειρὸς κατασιγήσαντα ἔγνωμεν, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν.

[00076] Ἀλλ' ἔλεγον, Τί ποιήσωμεν;

[00077] οὐκ ἐν τῷ μετανοεῖν, ἀλλ' ἐν τῷ κακοπραγεῖν.

[00078] Ἡ χώρα αὐτῶν τοὺς νεκροὺς ζῶντας, καθάπερ στάχυας λευχείμονας καὶ πεπείρους, ἀπόνως ἐβλάστησε, κἀκεῖνοι ἐστέναζον.

[00079] Μὴ ἃ ἐσπείρατε, Ἰουδαῖοι, οὐκ ἐθερίσατε;

[00080] μὴ γάρ τις ὑμῶν ὑποδεξάμενος τὸν Κύριον ἐβαρύνθη;

[00081] τί ζημιωθέντες ἐβαρύνθητε;

[00082] τί ἠδικήθητε παρὰ τοῦ Θεοῦ;

[00083] τί τοὺς νεκροὺς ζωῆς κωλύετε ὑπὸ φθόνου ἐλαυνόμενοι;

[00084] τί τοὺς ἀεννάους ὀχετοὺς τῆς μελιῤῥύτου πηγῆς διαλῦσαι βούλεσθε, ἣν οἱ [59.528] πιόντες μὴ διψῶσι;

[00085] τί τοὺς ἀῤῥώστους ὑμῶν ἀποκτείνετε, τὸν ἰατρὸν αὐτῶν ἀναλίσκειν βουλόμενοι;

[00086] Ἀλλὰ τούτων πάντων αἴτιος ὁ κάκιστος φθόνος.

[00087] Ὦ φθόνε, φόνου γεννήτωρ, διαβόλου εὕρημα, θανάτου ἀρχηγέ·

[00088] ὦ φθόνε, ὁ μήτε τοὺς ὑπὸ σοῦ βασκαινομένους ζῆν ἐθέλων, καὶ τοὺς ἔχοντάς σε μειζόνως κολάζων·

[00089] ὦ φθόνε, διαβόλου σύνοικε·

[00090] ὦ φθόνε, φιλίας ἐχθρὲ, εἰρήνης ἀντίπαλε, ἀγάπης ἀντίδικε, διαβόλου βλάστημα, σκοτεινόχροον ἄνθος·

[00091] οἵ σε νεμόμενοι, χριστοκτονίαν ἐργάζονται·

[00092] σὺ δὲ τὸν Ἀδὰμ ἐν παραδείσῳ ἐξ ἀρχῆς ἐβάσκανας, καὶ γλυκείας ἡδονῆς ἀπογευσάμενον πικροτάτῳ θανάτῳ παρέδωκας·

[00093] θάνατος γὰρ οὐκ ἦν ἐν τῷ κόσμῳ, εἰ μὴ σὺ αὐτὸν, φθόνε, ἐκύησας.

[00094] Καὶ μαρτυρεῖ μοι τὸ θεῖον λόγιον, λέγον·

[00095] Οὐκ ἐποίησεν ὁ Θεὸς θάνατον, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων.

[00096] Φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθε.

[00097] Σὺ καὶ τὸν Κάϊν τῆς φιλαδελφίας τὴν λευχείμονα στολὴν ἀπέδυσας, καὶ τῆς δολοφονίας τὴν μάχαιραν ὥπλισας, καὶ τοῦτον φονεύειν ἐδίδαξας, καὶ εὐθὺς τὸν ἄθλιον τρέμειν ἐδίδαξας.

[00098] Σὺ τῷ Φαραὼ ἐνοικήσας, τὰ ἀρτιγενῆ βρέφη τῶν Ἑβραίων δίκην χλόης ἀπεμάρανας.

[00099] Σὺ, ὦ φθόνε, εὐεργετούμενος, πλείω κατὰ τῶν εὐεργετούντων κινῆσαι·

[00100] ὥσπερ ὁ

[00101] Επιτρέπετα

[00102] Σαοὺλ ὑπὸ τοῦ Δαυῒδ βοηθούμενος, καὶ ὑπὸ σοῦ ἐνεργούμενος, μειζόνως πρὸς τὸν φόνον ὡπλίζετο.

[00103] Σὲ ἐσχηκότες οἱ υἱοὶ τοῦ Ἰακὼβ, τὸν περικαλλῆ καὶ λαμπρὸν Ἰωσὴφ εἰς τὴν σκοτοδινιῶσαν Αἴγυπτον ἔπεμπον, καὶ τὸν ἐλεύθερον ὡς δοῦλον ἐπίπρασκον·

[00104] καὶ οὔτε τὰ ἐνύπνια αὐτοὺς ἐφόβησε·

[00105] θεῖον γὰρ ὅραμα ἐμήνυσε Χριστοῦ εἰκόνα αὐτὸν ὑπάρχειν·

[00106] ὑπὸ γὰρ ἕνδεκα ἀστέρων ἐν ὁράμασι προσεκυνεῖτο·

[00107] ἐπειδὴ καὶ ὁ προδότης Ἰούδας τῷ φθόνῳ κινούμενος, ἀπήγξατο.

[00108] Ἡμεῖς δὲ φυγόντες τὸν τοῦ θανάτου γεννήτορα φθόνον, ἀναστάντες τῷ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ δοξάσωμεν·

[00109] ὅτι αὐτῷ πρέπει τὸ κράτος, ἡ τιμὴ, καὶ ἡ δόξα, καὶ ἡ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00110] Ἀμήν.

[00111] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In illud Collegerunt Judaei**
**Litterarum Omnium Conspectus: 114 Litterae, quae repetitae sunt in 6,119 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 425 | Α | 0913 | 1 |
| β | 0946 | 37 | Β | 0914 | 0 |
| γ | 0947 | 114 | Γ | 0915 | 0 |
| δ | 0948 | 114 | Δ | 0916 | 0 |
| ε | 0949 | 339 | Ε | 0917 | 5 |
| ζ | 0950 | 22 | Ζ | 0918 | 0 |
| η | 0951 | 76 | Η | 0919 | 0 |
| θ | 0952 | 81 | Θ | 0920 | 9 |
| ι | 0953 | 243 | Ι | 0921 | 1 |
| κ | 0954 | 203 | Κ | 0922 | 10 |
| λ | 0955 | 179 | Λ | 0923 | 0 |
| μ | 0956 | 187 | Μ | 0924 | 1 |
| ν | 0957 | 608 | Ν | 0925 | 1 |
| ξ | 0958 | 16 | Ξ | 0926 | 0 |
| ο | 0959 | 425 | Ο | 0927 | 6 |

| | | | | | |
|---|---|---|---|---|---|
| π | 0960 | 189 | Π | 0928 | 1 |
| ρ | 0961 | 196 | Ρ | 0929 | 0 |
| ς | 0962 | 200 | • | 0930 | 0 |
| σ | 0963 | 219 | Σ | 0931 | 16 |
| τ | 0964 | 447 | Τ | 0932 | 23 |
| υ | 0965 | 113 | Υ | 0933 | 0 |
| φ | 0966 | 50 | Φ | 0934 | 2 |
| χ | 0967 | 46 | Χ | 0935 | 4 |
| ψ | 0968 | 6 | Ψ | 0936 | 0 |
| ω | 0969 | 112 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 4 | | | 0 |
| ῥ | 8165 | 6 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 69 | έ | 8051 | 84 | ή | 8053 | 60 | ί | 8055 | 109 | ό | 8057 | 71 | ύ | 8059 | 56 | ώ | 8061 | 11 |
| ὰ | 8048 | 42 | ὲ | 8050 | 15 | ὴ | 80852 | 30 | ὶ | 8054 | 73 | ὸ | 8056 | 84 | ὺ | 8058 | 22 | ὼ | 8060 | 3 |
| ᾶ | 8118 | 4 | | | 0 | ῆ | 8134 | 25 | ῖ | 8150 | 43 | | | 0 | ῦ | 8166 | 52 | ῶ | 8182 | 30 |
| ἀ | 7936 | 79 | ἐ | 7952 | 78 | ἠ | 7968 | 2 | ἰ | 7984 | 19 | ὀ | 8000 | 4 | ὐ | 8016 | 56 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 2 | ἑ | 7953 | 5 | ἡ | 7969 | 19 | ἱ | 7985 | 10 | ὁ | 8001 | 12 | ὑ | 8017 | 20 | ὡ | 8033 | 6 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 4 |
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 8 | ἔ | 7956 | 16 | ἤ | 7972 | 2 | ἴ | 7988 | 5 | ὄ | 8004 | 0 | ὔ | 8020 | 2 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 2 | ἥ | 7973 | 0 | ἵ | 7989 | 20 | ὅ | 8005 | 18 | ὕ | 8021 | 3 | ὥ | 8037 | 3 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 2 | ἶ | 7990 | 1 | | | 0 | ὖ | 8022 | 1 | ὦ | 8038 | 4 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 0 | ὧ | 8039 | 3 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾳ | 8115 | 3 | | | 0 | ῃ | 8131 | 6 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 16 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 3 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 17 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In illud Collegerunt Judaei**

**Verborum Omnium Conspectus: 612Verba, quae repetita sunt in 3,296,303 occasionibus**

---

ἃ [00079]
ἀβουλίας [00059]
ἀγαθοῖς [00044]
ἀγαθῶν [00044]
ἀγάπην [00020]
ἀγάπης [00090]
ἀγαπητοὶ [00011]
ἁγίᾳ [00004]
ἅγιον [00063]
ἀγνώμονος [00059]
ἀγνωμόνως [00026]
ἀγρῷ [00026]
Ἀδὰμ [00092]
ἀδελφῶν [00049]
ἀεὶ [00109]
ἀεννάους [00084]
ἆθλιον [00097]
ἀθῷον [00058]
Ἀθῷον [00055]
Αἴγυπτον [00103]
αἷμα [00058]
αἵμασι [00058]
αἵματα [00056]
αἱμάτων [00071]
αἱμοβόρων [00030]
αἴτιον [00044]
αἴτιος [00086]
αἰῶνας [00109]
αἰώνων [00109]
ἀκμὴν [00058]
ἀκοαῖς [00015]
ἀκούσεσθε [00050]
ἀκρογωνιαῖον [00023]
ἀληθινὴν [00027]
ἀλλ [00007] [00010] [00015] [00022] [00023] [00024] [00025] [00026] [00027] [00077]
Ἀλλ [00058] [00076]
ἀλλὰ [00019] [00020] [00021] [00033] [00044] [00052]
Ἀλλὰ [00011] [00032] [00086]
ἄλλο [00048]
ἁμαρτημάτων [00061]
Ἀμήν [00110]
ἄμπελον [00027]
ἀμπέλου [00027]
ἂν [00050]
ἀναδενδράδας [00027] [00027]
ἀναλίσκειν [00044] [00085]
ἀναστάντες [00108]
ἀνάστασις [00043]
ἀναστήσει [00049]
ἄνδρα [00033]
ἀνεβίωσαν [00041]
ἀνεβίωσε [00060]
ἀνεστέναξε [00039]
ἀνηκέστους [00075]
ἀνημέρων [00031] [00032]
ἀνθ [00041]
Ἀνθ [00041] [00063]
ἄνθος [00090]
ἀνθρωπότης [00043]
ἀνθρώπων [00030]
ἀντίδικε [00090]
ἀντίπαλε [00090]
ἀπέδυσας [00097]
ἄπειροι [00010]
ἀπεκδεχομένων [00009]
ἀπεμάρανας [00098]
ἀπέξεσε [00065]
ἀπήγξατο [00107]
ἀπιστίᾳ [00025]
ἀπογευσάμενον [00092]
ἀποκτείνετε [00085]
ἀποκτείνωμεν [00053]
ἀποκτενεῖς [00055]
ἀπόνως [00078]
ἀποῤῥίψωσι [00023]
ἀπωλείᾳ [00095]
ἀπωλείας [00027]
ἀῤῥώστους [00085]
ἀρτιγενῆ [00098]
ἀρτίως [00014]
ἄρτων [00069]
ἀρχαῖα [00056]
ἀρχηγέ [00087]
ἀρχῆς [00092]

**ἀσιτίας** [00006]
**ἀστέρων** [00106]
**ἀτίθασσα** [00033]
**ἀτιμάσωσι** [00022]
**αὐτὰ** [00008]
**αὐτῆς** [00039]
**αὐτὸν** [00075] [00093] [00105]
**αὐτοῦ** [00050] [00057] [00062] [00067] [00069]
**αὐτοὺς** [00104]
**αὐτούς** [00010]
**αὐτῷ** [00047] [00109]
**αὐτῶν** [00033] [00060] [00078] [00085]
**ἄφορον** [00007]

**β** [00004]
**βασκαινομένους** [00088]
**βεβλημένον** [00073]
**βίας** [00075]
**βλάστημα** [00090]
**βοηθούμενος** [00102]
**βότρυας** [00027]
**βούλεσθε** [00084]
**βουλεύονται** [00044]
**βουλευτήριον** [00029]
**βουλῆς** [00059]
**βουλόμενοι** [00085]
**βρέφη** [00098]

**γάλα** [00009]
**γάλακτος** [00005] [00006] [00007]
**γὰρ** [00009] [00010] [00012] [00015] [00016] [00032] [00033] [00048] [00057] [00093] [00105] [00106]
**γάρ** [00080]
**γε** [00015]
**γενετῆς** [00067]
**γεννήτορα** [00108]
**γεννήτωρ** [00087]
**γενόμενοι** [00034]
**γενόμενος** [00037] [00038]
**γλυκείας** [00092]
**γνώμης** [00059]

**δαιμόνων** [00041]
**Δανιὴλ** [00033]
**Δαυῒδ** [00102]
**δὲ** [00014] [00027] [00031] [00034] [00044] [00051] [00092] [00096] [00108]
**δεῖ** [00008]
**δένδρον** [00027]
**δεσμὰ** [00061]
**δεῦτε** [00011]
**διάβολος** [00041]
**διαβόλου** [00028] [00087] [00089] [00090] [00096]
**διαλέγεται** [00015]
**διαλῦσαι** [00084]
**διαλύσωσι** [00024] [00026]
**διανοίας** [00009]
**διατραφέντας** [00069]
**διεῤῥήγνυντο** [00061]
**δίκαιον** [00053] [00055] [00058]
**δίκην** [00065] [00098]
**διψῶσι** [00084]
**δοθέντα** [00049]
**δολοφονίαν** [00062]
**δολοφονίας** [00097]
**δόξα** [00109]
**δοξάσωμεν** [00108]
**δοξάσωσιν** [00022]
**δοῦλον** [00103]

**ἑαυτοῦ** [00073]
**ἑαυτοὺς** [00027]
**ἐβαρύνθη** [00080]
**ἐβαρύνθητε** [00081]
**ἐβάσκανας** [00092]
**ἐβλάστησε** [00078]
**ἐβόα** [00015]
**Ἑβραίων** [00098]
**ἔγνωμεν** [00067] [00069] [00075]
**ἐδάφους** [00075]
**ἔδει** [00041] [00041] [00063]
**ἐδίδαξας** [00097] [00097]
**ἐθεασάμεθα** [00075]
**ἐθέλων** [00088]
**ἐθερίσατε** [00079]
**Εἰ** [00015]
**εἰ** [00093]
**εἰκόνα** [00105]
**εἰπεῖν** [00047] [00063]
**εἰρήνην** [00021]
**εἰρήνης** [00090]
**Εἰς** [00002]
**εἰς** [00063] [00069] [00096] [00103] [00109]
**εἰσῆλθε** [00096]
**εἶχον** [00048]
**ἐκ** [00005] [00034] [00049] [00067] [00069]
**ἑκάστην** [00005] [00005]
**ἐκδεχόμενα** [00057]
**ἐκδίκησιν** [00057]
**ἐκείνοις** [00058]
**Ἐκκλησίας** [00005] [00009]
**ἐκύησας** [00093]
**ἐλαυνόμενοι** [00083]
**ἔλεγον** [00002] [00012] [00016] [00034] [00076]
**ἐλεύθερον** [00103]
**ἐμέ** [00049]
**ἐμήνυσε** [00105]
**ἐν** [00026] [00069] [00073] [00077] [00077] [00092] [00093] [00106] [00108]
**ἕνδεκα** [00106]
**ἐνέδραν** [00011]

**ἐνεργούμενος** [00102]
**ἐνοικήσας** [00098]
**ἐνόμιζον** [00025]
**ἐντελεῖται** [00050]
**ἐντολὴν** [00049]
**ἐνυβρίσαμεν** [00063]
**ἐνύπνια** [00104]
**ἐξ** [00092]
**ἐξήγειρε** [00073]
**ἐξήρανε** [00071]
**Ἐοίκαμεν** [00006]
**Ἐοίκασιν** [00005]
**ἐπ** [00095]
**ἐπειδὴ** [00107]
**ἔπεμπον** [00103]
**ἐπὶ** [00011] [00027] [00033] [00038] [00044] [00073] [00075] [00075]
**ἐπίβουλον** [00011]
**ἐπιμελής** [00036]
**ἐπίπρασκον** [00103]
**ἐπιστεύσαμεν** [00063] [00065] [00067] [00069] [00071] [00073] [00075]
**ἐπιστρέψωμεν** [00047]
**ἐπιτελεῖν** [00041]
**Επιτρέπετα** [00042] [00101] [00111]
**ἐποίησεν** [00095]
**ἐργάζονται** [00091]
**ἔρευνα** [00036]
**ἐρήμῳ** [00069]
**ἐσπείρατε** [00079]
**ἐστέναζον** [00078]
**ἑστώτων** [00015]
**ἐσχηκότες** [00103]
**ἕτερον** [00047]
**ἔτεσι** [00073]
**εὐαγγελιστὴς** [00014]
**εὐγνωμόνως** [00026]
**εὐεργετούμενος** [00099]
**εὐεργετούντων** [00099]
**εὐθὺς** [00097]
**εὐλάβειαν** [00033]
**εὕρημα** [00087]
**εὐφροσύνης** [00041]
**ἐφαπλώσαντες** [00027]
**ἐφθέγγετο** [00014]
**ἐφόβησε** [00104]
**ἐφυλάξαμεν** [00049]
**ἐχαλίνωσαν** [00033]
**ἐχθρὲ** [00090]
**ἔχοντα** [00073]
**ἔχοντάς** [00088]

**ζημιωθέντες** [00081]
**ζῆν** [00088]
**ζητοῦσιν** [00005]
**ζωὴ** [00041]
**ζωῆς** [00073] [00083]
**ζῶντας** [00078]
**ζώντων** [00095]

**ἡ** [00039] [00043] [00109] [00109] [00109]
**ἢ** [00030] [00047] [00048]
**Ἡ** [00078]
**ἠδικήθητε** [00082]
**ἡδονῆς** [00092]
**ἤκουσας** [00055]
**ἠλευθέρωται** [00043]
**ἡλίου** [00011]
**ἡμᾶς** [00008] [00027]
**ἡμεῖς** [00006] [00009]
**Ἡμεῖς** [00108]
**ἡμέραν** [00005] [00041]
**ἡμῖν** [00014] [00015] [00049] [00049] [00049]
**ἡμῶν** [00009]
**ἣν** [00084]
**ἦν** [00047] [00093]
**ἤρκεσέ** [00056]

**θαλάττης** [00075]
**θάνατον** [00095]
**θάνατος** [00041] [00093] [00096]
**θανάτου** [00087] [00108]
**θανάτῳ** [00092]
**θεαταὶ** [00034]
**θεῖον** [00094] [00105]
**Θεὸν** [00022] [00057]
**Θεὸς** [00049] [00095]
**Θεοῦ** [00026] [00049] [00063] [00082]
**θεοφόρων** [00030]
**Θεῷ** [00108]
**θεωρήσαντες** [00033]
**θη** [00026]
**θηλάζουσι** [00005]
**θηλὴν** [00007] [00009]
**θηλῆς** [00005]
**θρέψῃ** [00007]
**θρέψωμεν** [00010]
**θρῆνος** [00037]
**θρηνοῦσι** [00044]

**Ἰακὼβ** [00103]
**ἰατρὸν** [00085]
**ἴδῃ** [00007]
**ἰδίου** [00007]
**ἴδωμεν** [00011]
**ἱματίων** [00071]
**ἵνα** [00007] [00007] [00010] [00010] [00011] [00022] [00022] [00023] [00023] [00024] [00024] [00025] [00025] [00026] [00026] [00027] [00027]
**Ἰουδαῖοι** [00002] [00012] [00034] [00079]
**Ἰουδαίων** [00011]
**Ἰούδας** [00107]

**Ἰσραὴλ** [00054]
**Ἰωάννης** [00014]
**Ἰωσὴφ** [00103]
**In** [00001]

**καθ** [00005] [00005]
**καθάπερ** [00075] [00078]
**κἀκεῖνοι** [00062] [00078]
**κακίας** [00029] [00036]
**κάκιστος** [00086]
**κακοῖς** [00038]
**κακὸν** [00019]
**κακοπραγεῖν** [00077]
**Καλὸν** [00018]
**καλοῦντες** [00021]
**κατ** [00062]
**καταδράμωμεν** [00011]
**κατακλαυθμυριζομένην** [00007]
**κατακρίνεις** [00058]
**καταπαύσῃ** [00007]
**κατασιγήσαντα** [00075]
**κατήργηται** [00043]
**κατησχύνθη** [00041]
**καύσωνα** [00010]
**Κάϊν** [00097]
**κεκήρυκται** [00043]
**κεκρυμμένον** [00026]
**κήρυκα** [00011]
**κινῆσαι** [00099]
**κινούμενος** [00107]
**κλαίουσα** [00039]
**κλαυθμυρισμοῦ** [00007]
**κλίνης** [00073]
**κολάζων** [00088]
**κοπετὸς** [00038]
**κόρον** [00069]
**κόσμον** [00096]
**κόσμῳ** [00093]
**κράζουσι** [00057]
**κρασπέδοις** [00071]
**κράτος** [00109]
**κυκλόθεν** [00009]
**Κύριον** [00080]
**Κύριος** [00049]
**Κυρίου** [00011]
**κωλύετε** [00083]

**λαμπρὸν** [00103]
**λέγειν** [00048]
**λέγεις** [00058]
**λέγον** [00094]
**λέγοντα** [00049]
**λέγουσι** [00045] [00051]
**λέγω** [00031]
**λέλυται** [00041]
**λέοντες** [00033]
**λεόντων** [00032]
**λεπρῶν** [00065]
**λευχείμονα** [00097]
**λευχείμονας** [00078]
**λίθον** [00023] [00025]
**λογικὸν** [00009]
**λόγιον** [00094]
**λόγου** [00009]
**λόγῳ** [00010] [00065]
**λύκων** [00030] [00031]

**μᾶλλον** [00030]
**μανδρεύσωσιν** [00024]
**μαργαρίτην** [00025]
**μαρτυρεῖ** [00094]
**μάχαιραν** [00097]
**μάχην** [00020]
**μεγάλη** [00004]
**μεγαλοπρέπεια** [00109]
**μειζόνως** [00034] [00088] [00102]
**μελιῤῥύτου** [00084]
**μελισταγεῖς** [00027]
**μεμεστωμένης** [00059]
**μεμεστωμένον** [00029]
**μετανοεῖν** [00077]
**μετανοήσαντες** [00047]
**μετάνοιαν** [00051]
**μετανοοῦντες** [00048]
**μεταστρέψαντας** [00063]
**μέχρι** [00057]
**μηδὲν** [00033]
**μήτε** [00088]
**μητέρα** [00007]
**μητρὶ** [00006]
**μητρικῆς** [00005]
**μοι** [00094]

**ναὸν** [00026]
**νεκροὶ** [00041]
**νεκροὺς** [00078] [00083]
**νεκρῶν** [00043]
**νεμόμενοι** [00091]
**νέον** [00009]
**νεύματι** [00075]
**νηπίοις** [00005]
**νόμον** [00049]
**νόσον** [00073]
**Νῦν** [00051]
**νῦν** [00015] [00044] [00057] [00109]

**ὁ** [00014] [00041] [00049] [00054] [00086] [00088] [00095] [00100] [00107]

**Ὁ** [00060]
**ὀδυρμὸς** [00038]
**Οἱ** [00033]
**οἱ** [00002] [00005] [00012] [00084] [00103]
**οἵ** [00091]
**οἰκοδομήσωσιν** [00023]
**ὀκτὼ** [00073]
**ὀμματωθέντας** [00067]
**ὅμοια** [00008]
**ὁπόταν** [00007]
**ὅραμα** [00105]
**ὁράμασι** [00106]
**ὁρῶντες** [00009]
**ὅσα** [00050]
**ὅτι** [00041] [00041] [00041] [00041] [00041] [00043] [00043] [00047] [00049] [00049] [00049] [00055] [00063] [00063] [00109]
**οὐ** [00015] [00020] [00021] [00044] [00051]
**Οὐδὲ** [00055]
**οὐδὲ** [00095]
**Οὐδὲν** [00047]
**Οὐκ** [00056] [00095]
**οὐκ** [00049] [00055] [00055] [00063] [00065] [00067] [00069] [00071] [00073] [00075] [00077] [00079] [00093]
**οὖν** [00015]
**Οὔτε** [00039]
**οὔτε** [00104]
**οὕτω** [00008]
**οὕτως** [00039]
**οὐχ** [00007] [00010] [00022] [00023] [00024] [00025] [00026] [00027]
**ὀχετοὺς** [00084]

**παῖδα** [00063]
**παῖδες** [00005]
**παιδίον** [00007]
**παίδων** [00009]
**παλιστρόφων** [00075]
**πάνδημον** [00041]
**πάντα** [00050]
**πάντων** [00086]
**παρ** [00057]
**παρὰ** [00011] [00082]
**παραδείσῳ** [00092]
**παραλυτικὸν** [00073]
**παρέβημεν** [00049]
**παρέδωκας** [00092]
**παροξύναντες** [00021]
**πᾶσι** [00043]
**πάσχοντας** [00008]
**παύσωμεν** [00010]
**πεῖται** [00054]
**πένητες** [00010]
**πενιχρᾷ** [00006]
**πέντε** [00069] [00069]
**πεπείρους** [00078]
**πεπλανημένα** [00024]
**περιεστώτων** [00009]
**περικαλλῆ** [00103]
**περιπατοῦντα** [00075]
**πεφανέρωται** [00041]
**πηγὰς** [00071]
**πηγάς** [00006]
**πηγῆς** [00084]
**πικροτάτῳ** [00092]
**πιόντες** [00084]
**πίστει** [00025]
**πιστεύσωμεν** [00047]
**πίστιν** [00023]
**πλείω** [00099]
**πλοίου** [00065]
**πνεύματι** [00015]
**πνευμάτων** [00075]
**πόθον** [00010]
**ποιήσωμεν** [00003] [00013] [00017] [00035] [00040] [00046] [00049] [00051] [00052] [00058] [00063] [00064] [00066] [00068] [00070] [00072] [00074] [00076]
**ποιήσωσιν** [00027] [00027]
**ποιμένα** [00024]
**ποίμνιον** [00024]
**ποιοῦντας** [00008]
**πόλεμον** [00021]
**πραττομένην** [00011]
**πρέπει** [00109]
**πρόβατα** [00024]
**προδότης** [00107]
**πρὸς** [00020] [00020] [00021] [00021] [00034] [00051] [00057] [00062] [00102]
**προσεκυνεῖτο** [00106]
**προσκυνουμένῳ** [00108]
**προσπεσόντες** [00047]
**προστιθεὶς** [00058]
**προστιθεῖσαν** [00007]
**Προφήτην** [00049]
**προφητῶν** [00056]
**πῶς** [00053]

**Ῥαχὴλ** [00039]
**ῥῆμα** [00063]
**ῥήματι** [00073]

**Σαοὺλ** [00102]
**σαυρὸν** [00026]
**Σὲ** [00103]
**σε** [00088] [00091]
**σημεῖον** [00033]
**σημείων** [00034]
**σκοπεῖν** [00008]
**σκοπήσαντες** [00033]
**σκοτεινόχροον** [00090]
**σκοτίσωσι** [00025]
**σκοτοδινιῶσαν** [00103]
**σοι** [00056]
**σοῦ** [00088] [00102]
**σταυροῦ** [00027]
**στάχυας** [00078]
**στεναγμὸς** [00037]

**στῖφος** [00043]
**στολὴν** [00097]
**στόματα** [00033]
**στόματι** [00015]
**Σὺ** [00097] [00098] [00099]
**σὺ** [00092] [00093]
**σύγχρονον** [00073]
**Συνέδριον** [00019]
**συνέδριον** [00002] [00012] [00016] [00022] [00023] [00024] [00025] [00026] [00027] [00028] [00030]
**Συνήγαγον** [00002] [00012] [00016] [00018] [00022] [00023] [00024] [00025] [00026] [00027]
**συνηγμένον** [00028]
**σύνοικε** [00089]
**συσταλθείσῃ** [00006]
**σύστημα** [00009]
**σωτηρίας** [00027]

**τὰ** [00008] [00008] [00024] [00033] [00039] [00056] [00061] [00098] [00104]
**ταῖς** [00015]
**τάλανας** [00041]
**ταραχὰς** [00075]
**τὰς** [00006]
**Ταῦτα** [00014]
**τε** [00008]
**τέκνα** [00039]
**τέκνου** [00007]
**τέρπεται** [00095]
**τετραήμερος** [00060]
**Τῇ** [00003]
**τῇ** [00025]
**τὴν** [00007] [00009] [00011] [00027] [00033] [00049] [00057] [00073] [00097] [00097] [00103]
**τῆς** [00005] [00005] [00009] [00009] [00027] [00073] [00084] [00097] [00097]
**Τί** [00003] [00013] [00017] [00031] [00035] [00040] [00046] [00048] [00049] [00051] [00052] [00058] [00063] [00064] [00066] [00068] [00070] [00072] [00074] [00076]
**τί** [00045] [00081] [00082] [00083] [00084] [00085]
**τιμὴ** [00109]
**τιμήσαντες** [00033]
**τις** [00007] [00080]
**τὸ** [00002] [00007] [00009] [00009] [00016] [00018] [00019] [00022] [00023] [00024] [00024] [00025] [00026] [00027] [00027] [00063] [00094] [00109]
**τοιούτοις** [00044]
**τοιούτων** [00034]
**τοῖς** [00005] [00058]
**τὸν** [00010] [00010] [00011] [00023] [00024] [00025] [00025] [00026] [00026] [00033] [00034] [00044] [00049] [00049] [00049] [00053] [00057] [00063] [00080] [00085] [00092] [00096] [00097] [00097] [00102] [00103] [00103] [00108]
**τοσούτων** [00034] [00044]
**τοῦ** [00005] [00006] [00007] [00009] [00011] [00011] [00026] [00027] [00033] [00034] [00049] [00057] [00063] [00082] [00102] [00103] [00108]
**τοὺς** [00027] [00041] [00078] [00083] [00084] [00085] [00088] [00088] [00109]
**τοῦτο** [00009] [00048] [00055]
**τοῦτον** [00097]
**τούτῳ** [00065] [00067] [00069] [00071] [00073] [00075]
**τούτων** [00086]
**τρέμειν** [00097]
**Τριάδι** [00108]
**τριάκοντα** [00073]
**τροφὴν** [00005]
**τρυγήσωσιν** [00027]
**τυγχάνομεν** [00010]
**τυφλοὺς** [00067]
**τῷ** [00010] [00015] [00015] [00026] [00065] [00077] [00077] [00093] [00098] [00107] [00108]
**τῶν** [00009] [00011] [00015] [00049] [00056] [00061] [00075] [00098] [00099] [00109]

**υἱοὶ** [00103]
**ὑμῖν** [00050]
**ὑμῶν** [00049] [00080] [00085]
**ὑπ** [00067] [00069]
**ὑπάρχειν** [00105]
**ὑπὸ** [00006] [00007] [00028] [00037] [00083] [00088] [00102] [00102] [00106]
**ὑποδεξάμενος** [00080]
**ὑποδέξωνται** [00025] [00026]
**ὑφέλκουσι** [00005]

**Φαραὼ** [00098]
**φεγγίτην** [00025]
**φησὶ** [00016]
**φησὶν** [00012]
**φθόνε** [00087] [00088] [00089] [00090] [00093] [00099]
**φθόνον** [00108]
**φθόνος** [00086]
**φθόνου** [00034] [00037] [00083]
**Φθόνῳ** [00096]
**φθόνῳ** [00107]
**φιλαδελφίας** [00097]
**φιλίας** [00090]
**φιλότεκνον** [00007]
**φίλτατοι** [00005]
**φονεύειν** [00097]
**φονεύσαντες** [00024]
**φόνον** [00034] [00102]
**φόνου** [00087]
**φρενολυ** [00054]
**φυγόντες** [00108]

**χαίρειν** [00041]
**χαίρουσιν** [00044]
**χαλαζώματα** [00065]
**χαλῶμεν** [00009]
**χειρὸς** [00075]
**χείρους** [00032]
**χιλιάδας** [00069]
**χιονόφεγγον** [00025]
**χλόης** [00098]
**χριστοκτονίαν** [00091]
**Χριστὸν** [00022]
**Χριστοῦ** [00028] [00105]
**χώρα** [00078]
**Xollegerunt** [00001]

**ὢ** [00029] [00030] [00037] [00038]
**ὤ** [00088] [00089] [00090] [00099]

**Ὦ** [00028] [00036] [00059]
**Ὧ** [00087]
**ὧν** [00041] [00041] [00063]
**ὡπλίζετο** [00102]
**ὡπλίζοντο** [00034] [00062]
**ὥπλισας** [00097]
**ὡς** [00025] [00049] [00103]
**Ὡς** [00054]
**ὥσπερ** [00007] [00100]